Ακαδημία Αθηνών / Academy of Athens

*δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χ ε ι-μ ῶ ν ο ς οὖν ἐστι σύμβολον.*

**χεῖν.** Χύνω/σκορπίζω, pour/scatter, Ἡράκλειτος 124 *ὥσπερ σάρμα εἰκῆ κ ε χ υ μ έ ν ω ν* Ἐμπεδοκλῆς 2.1 *στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κ έ χ υ ν τ α ι* 35.7-16 *τῶν δέ τε μισγομένων χεῖτ' ἔθνεα μυρία θνητῶν.*

**χείρ.** Χέρι, hand, Ξενοφάνης 1.1 *νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χ ε ῖ ρ ε ς ἁπάντων* 15.1-2 *ἀλλ' εἰ χ ε ῖ ρ α ς ἔχον βόες ⟨ἵπποι τ'⟩ ἠὲ λέοντες ἢ γράψαι χ ε ί ρ ε σ σ ι* Παρμενίδης 1.10-22 *ὠσάμεναι κράτων ἄπο χ ε ρ σ ὶ καλύπτρας ... καί με θεὰ πρόφρων ὑπεδέξατο, χ ε ῖ ρ α δὲ χ ε ι ρ ὶ δεξιτερὴν ἕλεν* Ἐμπεδοκλῆς 23.3 *ἐπεὶ οὖν μάρψωσι πολύχροα φάρμακα χ ε ρ σ ὶ ν* 100.10-20 *ἐπ' εὐειδεῖ χ ε ρ ὶ θεῖσα ... εἰσόκε χ ε ι ρ ὶ μεθῇ* 133.2 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χ ε ρ σ ὶ λαβεῖν* 141 *κυάμων ἄπο χ ε ῖ ρ α ς ἔχεσθαι* Διογένης 6.10-14-35 *εἰς ἑκατέραν τὴν χ ε ῖ ρ α ... ἐπὶ τὴν ἄλλην χ ε ῖ ρ α ... εἰς τὰς χ ε ῖ-ρ α ς* Δημόκριτος 30 *τῶν λογίων ἀνθρώπων ὀλίγοι ἀνατείναντες τὰς χ ε ῖ ρ α ς ἐνταῦθα* 279.3 *μή τι ἀτηρὸν ποιέωσι διὰ χ ε ι ρ ὸ ς ἔχοντες* Ἀρχύτας A 24 (DK I 431,1) *ἐν τῷ ἐσχάτῳ οἷον τῷ ἀπλανεῖ οὐρανῷ γενόμενος πότερον ἐκτείναιμι ἂν τὴν χ ε ῖ ρ α ἢ τὴν ῥάβδον εἰς τὸ ἔξω ἢ οὔ;* || Πυθαγόρειοι 2 (DK I 463,1) τὰς δὲ ἄρκτους Ῥέας *χ ε ῖ ρ α ς.*

**χειρότερος** (τύπ. *χερείων*) **1.** Μικρότερος/ὀλιγότερος, smaller/lesser, Παρμενίδης 8.24 *οὐδέ τι χ ε ι ρ ό τ ε ρ ο ν* **2.** Χειρότερος/ἀναξιότερος, worse/less worthy, Δημόκριτος 49 *χαλεπὸν ἄρχεσθαι ὑπὸ χ ε ρ ε ί ο ν ο ς.* Πρβλ. *κακός.*

**Χθονίη.** Γῆ (προσωποπ.), Earth (personif.), Ἐμπεδοκλῆς 122.1 *ἔνθ' ἦσαν Χ θ ο ν ί η τε καὶ Ἡλιόπη ταναῶπις.* Πρβλ. *χθών, γῆ.*

**χθὼν 1.** Γῆ/στεριά, earth/land, Ἐμπεδοκλῆς 22.2 *ἠλέκτωρ τε χ θ ὼ ν τε καὶ οὐρανὸς ἠδὲ θάλασσα* 115.10 *πόντος δ' ἐς χ θ ο-ν ὸ ς οὖδας ἀπέπτυσε* **2.** Γῆ/χῶμα, earth, Ἐμπεδοκλῆς 73.1 *ὡς δὲ τότε χ θ ό ν α Κύπρις* 76.3 *ἔνθ' ὄψει χ θ ό ν α χρωτὸς ὑπέρ-*